ἀνώνυμός τις τῶν ἡμετέρων, μετέφρασε τὴν νομικὴν ἐξάβιβλον Κωνσταντίνου τοῦ ἁρμενοπούλου εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον. ταύτην εὑρὼν ὁ Μητροπολίτης τῆς Ἡρακλείας Γεράσιμος δέδωκεν Ἀλεξίῳ τῷ σπανῷ, ἵνα καταστρώσῃ εἰς αὐτὴν ἕνα πίνακα κατὰ ἀλφάβητον, καὶ ἐπιδιορθώσῃ εἰ δεῖται τινὸς ἐπιδιορθώσεως· προσέτι ἐπειδὴ ὁ ἁρμενόπουλος συντόμως πως διαλαμβάνει περὶ συνοικεσίων, προετρέψατο αὐτῷ ἵνα γράψῃ ἰδίᾳ πλατύτερον περὶ τούτων. ὁ Ἀλέξιος τὸν βίβλον λαβὼν, καὶ παραβαλὼν τῷ ἑλληνικῷ πρωτοτύπῳ, εὗρεν αὐτὴν διεφθαρμένην, καὶ εἰς πολλὰ ἐσφαλμένην. ὅθεν ἐδιορθώσατο, καὶ κατεκάλλυνεν αὐτὴν μὲ πλουσιώτατον πίνακα. προσέθετο δὲ αὐτῇ, οὐ μόνον τὸ περὶ τῶν συνοικεσίων ἐγχειρίδιον, ὅπερ αὐτὸς ἐκ πολλῶν ἐρανισάμενος συνέθετο, (ὡς ἐν τῷ προοιμίῳ φησὶ) ἀλλὰ καὶ κανόνας πολλοὺς ἔκ τε τῶν ἀποστολικῶν, καὶ συνοδικῶν, καὶ τῶν πατέρων τῶν μάλιστα ἐν χρήσει ὄντων τῇ βίβλῳ ταύτῃ ἁπλῇ διαλέκτῳ προσήρτησε, καὶ οὕτω τῷ ἔτει 1777 δι' ἀναλωμάτων τοῦ ῥηθέντος Ἡρακλείας τύποις ἐνετίῃσι ἐξέδοτο· παρὰ Δημητρίῳ Θεοδοσίῳ εἰς δ΄.

1634 Ἀθανάσιος Κύπριος· τὸ γένος ἕλλην, τὴν θρησκείαν λατινόφρων καὶ τὴν γνώμην ἀλλοπρόσαλος, καὶ ἐπίβουλος. ὅθεν ἔγραφε πρὸς αὐτὸν ὁ Κεραμεὺς νικόλαος. *»οὕτω καὐτὸς σὺ ὁ ἀποστάτης καὶ ἐπίβουλος, προσελθὼν ὑποκεκρυμμένως τῇ μητρὶ τῶν ἐκκλησιῶν, ζητῶν τε θήραν μὴ πρὸς νομὴν, ἀλλὰ πρὸς θοίνην τῷ παραδείσῳ τῆς ἐκκλησίας, παρὰ μὲν τῶν ἀνενδότων καὶ σφενδαμνινῶν πατριαρχῶν ἀπετάχθης μήτε διαμαρτυρηθεὶς, μήτ' ἀμβωνισθεὶς, καὶ ἀνακηρυχθεὶς, οἷος θεομάχος ἀποφανθεὶς ὑπὸ τοῖς ἁγιωτάτοις πατριάρχαις.* κ.τ.λ. σλ: 513 οὗτος ὑποκριθεὶς ὅτι φρονεῖ τὰ τῆς ἡμετέρας ἀνατολικῆς ἐκκλησίας δόγματα ἀπῆλθεν εἰς τὸ ὄρος τοῦ ἄθωνος καὶ εἰς τὰ λοιπὰ μοναστήρια τῆς Μακεδονίας, θετταλίας, καὶ θράκης καὶ ἐκλέξας τὰς ἐγκριτωτέρας βίβλους τὰς ἐκεῖσε ἀρχῆθεν εὑρισκομένας ἠγόραζεν ἀπατηλῶς καὶ ὀλίγης τιμῆς. ἐν δὲ τῇ τῶν μετεώρων λεγομένῃ Μονῇ τοσοῦτον